eul_wid: knm-aa

Ἀρχίμηλος ὁ ἐπιγραμματοποιός · Archimelus the Epigrammatist

# Fragment-the Ship of Hiero II

*Ἀπόσπασμα περὶ τοῦ πλοίου Ἱέρωνος Β'*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 202.1 [ln_1]τίς τόδε σέλμα πέλωρον ἐπὶ χθονὸς εἵσατο; ποῖος [para]κοίρανος ἀκαμάτοις
book 202.2 πείσμασιν ἠγάγετο; πῶς δὲ κατὰ δρυόχων ἐπάγη
book 202.3 σανίς, ἢ τίνι γόμφοι [para]τμηθέντες
book 202.4 πελέκει
book 202.5 τοῦτ’ ἔκαμον τὸ κύτος,[ln_5]ἢ κορυφαῖς Αἴτνας
book 202.6 παρισούμενον ἤ τινι νάσων [para]ἃς Αἰγαῖον ὕδωρ Κυκλάδας ἐνδέδεται, τοίχοις ἀμφοτέρωθεν ἰσοπλατές; ἦ ῥα Γίγαντες [para]τοῦτο
book 202.7 πρὸς οὐρανίας ἔξεσαν ἀτραπιτούς. ἄστρων γὰρ
book 202.8 ψαύει καρχήσια καὶ τριελίκτους[ln_10]θώρακας μεγάλων ἐντὸς ἔχει νεφέων. πείσμασι δ’ ἀγκύρας ἀπερείδεται οἷσιν Ἀβύδου [para]Ξέρξης καὶ Σηστοῦ δισσὸν ἔδησε πόρον. μανύει
book 202.9 στιβαρᾶς κατ’ ἐπωμίδος ἀρτιχάρακτον [para]γράμμα, τίς ἐκ χέρσου τάνδ’ ἐκύλισε
book 202.10 τρόπιν·
book 202.1 [ln_15]φατὶ γὰρ ὡς Ἱέρων Ἱεροκλέος Ἑλλάδι πάσᾳ [para]καὶ νάσοις καρπὸν πίονα δωροφορῶν, Σικελίας
book 202.2 σκαπτοῦχος ὁ Δωρικός. ἀλλά, Πόσειδον, σῷζε διὰ γλαυκῶν σέλμα τόδε ῥοθίων. *